# Ι. ΓΕΝΙΚΟΙ ΚΑΝΟΝΕΣ ΠΡΟΣΩΔΙΑΣ

**1. Βραχεία συλλαβή:** συλλαβή το φωνήεν της οποίας είναι βραχύ (**ε, ο, α, ι, υ**), υπό την προϋπόθεση να ακολουθεί μόνο ένα απλό σύμφωνο: τα άφωνα: **κ, γ, χ, π, β, φ, τ, δ, θ**, τα ημίφωνα: **λ, ρ** (υγρά), **μ, ν** (ένρινα) και **σ / ς** (συριστικό).

**2. (Φύσει) μακρά συλλαβή:** συλλαβή το φωνήεν της οποίας είναι μακρό (**η, ω, α, ι, υ**) ή συλλαβή η οποία περιέχει δίφθογγο (**αι, οι, ει, υι, ωι = ῳ, ηι = ῃ**). Οι δίφθογγοι **αι** και **οι** ακόμη κι όταν βρίσκονται στο τέλος κλιτής ασυναίρετης λέξης παραμένουν μακρόχρονοι.

**3. (Θέσει) μακρά συλλαβή:** συλλαβή με βραχύ φωνήεν, μετά το οποίο ακολουθούν (στο εσωτερικό της ίδιας λέξης ή στην αρχή της επόμενης) περισσότερα από ένα απλά σύμφωνα ή ένα διπλό (**ζ, ξ, ψ**).

**4. Αττική βράχυνση (correptio Attica):** το σύμπλεγμα **άφωνου και υγρού** συμφώνου θεωρείται συχνά ως απλό, ειδικά αν βρίσκεται στην αρχή της επόμενης λέξης. Άλλα συμφωνικά συμπλέγματα τα οποία έχουν συχνά μονοσυμφωνική αξία (*muta cum liquida*) είναι τα: **σκ, στ, πτ, νδρ** αλλά και το διπλό **ζ**. Τα συμφωνικά συμπλέγματα που αποτελούνται από ένα άφωνο και ένα ένρινο έχουν σπανιότερα μονοσυμφωνική αξία.

Παράδειγμα:

σοὶ τόνδε **πλεκτὸν** στέφανον ἐξ ἀκηράτου (Ευρ. *Ιππόλ.*73)

**5.** Απλά σύμφωνα στην αρχή της λέξης αποκτούν μερικές φορές διπλοσυμφωνική αξία, δηλαδή το βραχύ φωνήεν με το οποίο τελειώνει η προηγούμενη λέξη θεωρείται θέσει μακρό. Αυτό συμβαίνει κυρίως με τους εξακολουθητικούς φθόγγους (**λ, ρ, μ, ν, σ,** ***f***)

# ΙΙ. ΙΑΜΒΙΚΟ ΤΡΙΜΕΤΡΟ

## 1. ΓΕΝΙΚΑ

Το ιαμβικό τρίμετρο αποτελεί το πιο συνηθισμένο μέτρο των διαλογικών μερών του αρχαίου ελληνικού δράματος (τραγωδίας και κωμωδίας).

Ένας **ιαμβικός πους** αποτελείται από ένα βραχύ στοιχείο και ένα μακρό:

| U — |
|---|

Το ιαμβικό μέτρο είναι μια ιαμβική διποδία, αλλά πολλές φορές το πρώτο του στοιχείο καλύπτεται από ένα **άλογο** (*syllaba anceps*), δηλαδή βραχεία ή μακρά συλλαβή, η οποία συμβολίζεται με ένα **x**.

Ένας **ιαμβικός στίχος** αποτελείται από **3 ιαμβικά μέτρα** δηλαδή έχει **12 συλλαβές** και παρουσιάζει το ακόλουθο σχήμα:

| X—U—X—U—X—U— |
|---|

**<u>Σημ.</u>** Η τελευταία συλλαβή του ιαμβικού στίχου, αν και στην πραγματικότητα βραχύχρονη, για το μέτρο θεωρείται μακρόχρονη.

## 2. ΤΟΜΕΣ

**1. Πενθημιμερής:** πάντοτε μετά το $2^{o}$ άλογο.

**2. Εφθημιμερής:** πάντοτε μετά το $2^{o}$ βραχύ.

**3. Μέση τομή:** πολύ σπάνια, λόγω της κακής ακουστικής εντύπωσης που προκαλεί. Στη θέση της ο ποιητής τοποθετεί λέξη η οποία έχει πάθει έκθλιψη, οπότε ουσιαστικά συμπροφέρεται με την επόμενη.

## 3. ΖΕΥΓΜΑΤΑ

**1. Ζεύγμα του Porson (Lex Porsoniana):** όταν το $3^o$ άλογο είναι μακρό απαγορεύεται η μακρά αυτή συλλαβή να είναι η τελευταία μιας πολυσύλλαβης λέξης.
**2. Νόμος των Wilamowitz-Knox:** μετά το $4^o$ και το $5^o$ μακρό ή ύστερα από το $2^o$ βραχύ και το $3^o$ άλογο του ίδιου στίχου απαγορεύεται να τελειώνει λέξη.

## 4. ΑΝΑΛΥΣΕΙΣ

Στον ιαμβικό τρίμετρο στίχο πολλές φορές ένα μακρό (εκτός από το τελευταίο) αναλύεται σε δύο βραχέα ( — = ∪ ∪ ). Τέτοιου είδους αναλύσεις στο δράμα είναι αρκετά συχνές: (α) μετά την τομή και στην αρχή του στίχου και (β) όταν στον στίχο περιέχεται κύριο όνομα το οποίο έχει περισσότερες από μία βραχείες συλλαβές. Ειδικά όταν δύο βραχείες συλλαβές αντικαθιστούν το $1^o$ ή το $2^o$ βραχύ του στίχου τότε έχουμε **το φαινόμενο του μερισμού**.

**Χωλίαμβος ή σκάζων ίαμβος** = ο ιαμβικός τρίμετρος στίχος, ο οποίος έχει μακρά συλλαβή στη θέση του τρίτου βραχέος (δηλαδή ο ίαμβος αυτός λήγει σε πέντε μακρές συλλαβές). Ευρετής του μέτρου αναφέρεται ο Ιππώνακτας.

## III. ΕΛΕΓΕΙΑΚΟ ΔΙΣΤΙΧΟ

Το ελεγειακό δίστιχο (ἤ ἐλεγεῖον) είναι συνδυασμός ενός δακτυλικού εξάμετρου και ενός δακτυλικού πεντάμετρου στίχου.

| |
|---|
| –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏖ –́ ⏑⏑ –́ ⏓ |
| –́ ⏖ –́ ⏖ –́ \| –́ ⏑⏑ –́ ⏑⏑ ⏓ |

Ο πεντάμετρος στίχος αποτελείται από 2 **ημιεπή** ( –́ ⏖ –́ ⏖ –́ ).

Α. <u>Εξάμετρος στίχος</u>:

1. Συχνότερη τομή η **κατὰ τρίτον τροχαῖον** (ή θήλεια τομή), δηλαδή η τομή μετά το πρώτο βραχύ του τρίτου δακτύλου.
2. Ο πέμπτος πόδας είναι κανονικός δάκτυλος (–⏑⏑), δηλαδή δεν συναντούμε σπονδειάζοντες στίχους.

Β. <u>Πεντάμετρος στίχος</u>:

1. Οι δάκτυλοι αντικαθίστανται από σπονδίους μόνο στο πρώτο ημιεπές, ποτέ στο δεύτερο. Όχι σπάνια το δεύτερο ημιεπές καλύπτεται από μια λέξη.
2. Στο τέλος του πρώτου ημιεπούς επιδιώκεται να υπάρχει τέλος λέξης. Εκεί προτιμούνται οι φύσει μακρές συλλαβές.
3. Χασμωδία ανάμεσα στα δύο ημιεπή απαγορεύεται, αν και υπάρχουν εξαιρέσεις.
4. Συλλαβή *brevis in longo* (= η περίπτωση κατά την οποία η τελική συλλαβή που λογίζεται κατά κανόνα ως μακρά, καλύπτεται και από βραχύ φωνήεν) δεν υπάρχει.

Μ. Π. Σωτηρίου

## Α. Αιολικά Μέτρα

Βασικό χαρακτηριστικό των μέτρων που χρησιμοποίησαν στα ποιήματά τους η Σαπφώ και ο Αλκαίος είναι ο σταθερός αριθμός των συλλαβών τους. Με άλλα λόγια δεν είναι εφικτή η ανάλυση μιας μακράς συλλαβής σε δύο βραχείες ούτε η αντικατάσταση δύο βραχύχρονων συλλαβών σε μια μακρά.

Τα πιο γνωστά αιολικά μέτρα είναι τα ακόλουθα:

► **Γλυκώνειος: o o – υ υ – υ –**

► **Φερεκράτειος: o o – υ υ – –**

► **Ιππωνάκτειος: o o – υ υ – υ – –**

► Τα δύο άλογα στοιχεία (ancipitia) στην αρχή των στίχων αυτών αποτελούν την **αιολική βάση**. Συνήθως καλύπτονταν από έναν τροχαίο (– υ), άλλοτε από έναν σπονδείο (– –) και σπάνια από έναν ίαμβο (υ –). Ακόμη σπανιότερα η αιολική βάση καλύπτεται από δύο βραχείες συλλαβές (υ υ).

► Ακέφαλος ο γλυκώνειος ονομάζεται **τελεσίλλειο (x – υ υ – υ –).**

► Αν προσθέσουμε στον γλυκώνειο και έναν **βακχείο (υ – –)** τότε προκύπτει ο **φαλαίκειος (o o – υ υ – υ – υ – –)**.

► Αν προσθέσουμε ένα ιαμβικό μέτρο **(x – υ –)** πριν από τον τελεσίλλειο τότε προκύπτει ο **αλκαϊκός ενδεκασύλλαβος**: **x – υ – x – υ υ – υ –**

► Αν προσθέσουμε έναν **κρητικό (– υ –)** πριν τον ακέφαλο ιππωνάκτειο, τότε προκύπτει ο **σαπφικός ενδεκασύλλαβος (– υ – x – υ υ – υ – –)**.

## <u>Σαπφική και Αλκαϊκή Στροφή</u>

Στροφή στην αδόμενη ποίηση ονομάζεται η μετρική ενότητα που αποτελείται από περισσότερες όμοιες ή ανόμοιες περιόδους, οι οποίες επαναλαμβάνονται όσες φορές θέλει ο ποιητής. Στη Σαπφώ και στον Αλκαίο απαντούν τα πιο χαρακτηριστικά δείγματα επωδικά κατασκευασμένων στροφών (μετά από δύο όμοιες στροφές ακολουθεί μια τρίτη διαφορετική).

► **<u>Σαπφική στροφή</u>: – υ – x – υ υ – υ – –** (κρητ.+ιππ. = σαπφ. 11σύλλαβος)
**– υ – x – υ υ – υ – –** (κρητ.+ιππ. = σαπφ. 11σύλλαβος)
**– υ – x– υ υ – υ – x – υ υ – –** (κρητ.+γλυκ.+φερ.)

► **<u>Αλκαϊκή στροφή</u>: x – υ – x – υ υ – υ –** (ια.+γλυκ. = αλκ. 11σύλλαβος)
**x – υ – x – υ υ – υ –** (ια.+γλυκ. = αλκ. 11σύλλαβος)
**x – υ – x – υ – x – υ υ – υ υ –υ – –** (2ια+ιππ.+εσωτ. προσθήκη – υ υ)

### B. Ιωνικά Μέτρα

► Το ιωνικό είναι το μόνο μέτρο μέσα στο οποίο δύο μακρές συλλαβές βρίσκονται η μια μετά την άλλη. Γι' αυτό ο ρυθμός αυτός θεωρήθηκε κατά την αρχαιότητα ως μη ελληνικός. Θεωρείται αποκλειστικό μέτρο σύνθεσης της λυρικής ποίησης.

► Η βασική του μορφή είναι: **<u>υ υ – –</u> (ιωνικός απ' ελάσσονος)**.

► Απαντά σε δίμετρο (πιο συχνά), τρίμετρο και τετράμετρο στίχο.

► Επίσης, απαντά με τις εξής <u>παραλλαγές</u>:

1. αποβολή της τελευταίας συλλαβής του δεύτερου μέτρου (ίσως και του πρώτου)
2. ανάλυση του μακρού σε δύο βραχέα
3. αντικατάσταση των δύο βραχέων με ένα μακρό
4. αποβολή της μιας από τις δύο βραχείες συλλαβές
5. αποβολή της μιας από τις δύο μακρές συλλαβές του πρώτου μέτρου
6. συγκοπή της βραχείας συλλαβής του δεύτερου μέτρου

► Ιδιαίτερη μορφή του ιωνικού δίμετρου στίχου αποτελεί το λεγόμενο **ανακλώμενο μέτρο** (= ανακρεόντειο): **υ υ – υ – υ – –** Το μέτρο αυτό προκύπτει αν στο κανονικό ιωνικό δίμετρο αλλάξουν θέση το δεύτερο μακρό και το τρίτο βραχύ (**φαινόμενο της ανάκλασης**).

ενδεικτικά παραδείγματα μετρικής



(*b*)
*ἄγε δηῦτε μηκέτ' οὕτω*
*πατάγωι τε κἀλαλητῶι*
*Σκυθικὴν πόσιν παρ' οἴνωι*
*μελετῶμεν, ἀλλὰ καλοῖς*
*ὑποπίνοντες ἐν ὕμνοις.*

## INCERTI LIBRI

### 301 (2 B. et D.)

[357]
*ὦναξ, ὧι δαμάλης Ἔρως*
*καὶ Νύμφαι κυανώπιδες*
*πορφυρῆ τ' Ἀφροδίτη*
*συμπαίζουσιν, ἐπιστρέφεαι*
*δ' ὑψηλὰς ὀρέων κορυφάς·*
*γουνοῦμαί σε, σὺ δ' εὐμενὴς*
*ἔλθ' ἡμίν, κεχαρισμένης*
*δ' εὐχωλῆς ἐπακούειν·*
*Κλεοβούλωι δ' ἀγαθὸς γένεο*
*σύμβουλος, τὸν ἐμόν γ' ἔρω-*
*τ', ὦ Δεόνυσε, δέχεσθαι.*

Dio Chrys. *or.* ii 62 ὁ Ἰώνων ποιητὴς Ἀνακρέων· ὦναξ κτλ. +

1 ὧι: ὦ codd. 3 πορφυρέη codd. 5 κορυφὰς ὀρέων coni. Barnes 7 κεχαρισμένος coni. Hecker 9 Κλευβ- codd. γενεῦ codd. 10 γ' Kan: δ' codd. 11 Δεύν- codd.





### 302 (14 B., 5 D.)

*σφαίρηι δηὖτέ με πορφυρῆι* [358]
*βάλλων χρυσοκόμης Ἔρως*
*νήνι ποικιλοσαμβάλωι*
*συμπαίζειν προκαλεῖται·*
*ἡ δ', ἐστὶν γὰρ ἀπ' εὐκτίτου*
*Λέσβου, τὴν μὲν ἐμὴν κόμην,*
*λευκὴ γάρ, καταμέμφεται,*
*πρὸς δ' ἄλλην τινὰ χάσκει.*

Athen. xiii 599 C Ἀνακρέοντος τάδε· σφαίρηι κτλ.; Et. Sorb. ap. Et. Mag. 448. 29 Gaisf. νήνι ποικίλοὔς ἀμβάλω

1 δηὖτέ Seidler: δεῦτέ Athen. πορφυρῆι Barnes (-έηι): πορφυρενι Athen. 3 ποικιλοσαμβάλωι Seidler: ποικίλος λαμβάνω Athen.; Et. Sorb. ut supra 5 ἀπ' εὐκτίτου Barnes: ἀπευκτικοῦ Athen.

### 303 (3 B. et D.)

*Κλεοβούλου μὲν ἔγωγ' ἐρέω,* [359]
*Κλεοβούλωι δ' ἐπιμαίνομαι,*
*Κλεόβουλον δὲ διοσκέω.*

Ps.-Hdn. π. σχημ. viii 599 seq. Walz, de polyptoto, παρὰ δὲ Ἀνακρέοντι ἐπὶ τριῶν· Κλ. κτλ.

1–3 Κλευβ- codd. ἐρῶ codd. 3 διοσκέω Bergk: διοσκνέω codd. Parr., διὸς κνέων cod. Haun.

### 304 (4 B. et D.)

*ὦ παῖ παρθένιον βλέπων* [360]
*δίζημαί σε, σὺ δ' οὐ κλύεις,*
*οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς*
*ψυχῆς ἡνιοχεύεις.*

Athen. xiii 564 D ὁ δ' Ἀνακρέων τί φησίν; ὦ κτλ.

2 οὐ κλύεις Erfurdt: ου καιεις Athen., οὐκ ἀίεις cod. E; οὐ κοεῖς coni. Bergk

## 325 (46 B., 34 D.)

[398] *ἀστραγάλαι δ' Ἔρωτός εἰσιν*
*μανίαι τε καὶ κυδοιμοί.*

Schol. A Hom. *Il.* 23. 88 *ἀστ. κτλ.*, Ἀνακρέων

*εἰσὶ* et *κυδοίμοιο* cod.

## 326 (59 B., 35 D.)

[399] *ἐκδῦσα κιθῶνα δωριάζειν*

Schol. Eur. *Hec.* 934 *δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων· ἐκδῦσα κτλ.* +

*χιτῶνα* codd.

## 327 (51 B., 39 D.)

[408] *ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα*
*γαλαθηνὸν ὅς τ' ἐν ὕλῃι κεροέσσης*
*ἀπολειφθεὶς ἀπὸ μητρὸς ἐπτοήθη.*

Aelian. *n.a.* vii 39 *ὅσοι λέγουσι θῆλυν ἔλαφον κέρατα οὐ φύειν, οὐκ αἰδοῦνται τοὺς τοῦ ἐναντίου μάρτυρας· . . . Ἀνακρέων ἐπὶ θηλείας φησίν· οἷά τε κτλ.*; Athen. ix 396 D *οἷά τε κτλ.*; schol. Pind. *Ol.* iii 52 *ἀγανῶς κτλ.*, *Ζηνόδοτος δὲ μετεποίησεν ἐροέσσης διὰ τὸ ἱστορεῖσθαι τὰς θηλείας κέρατα μὴ ἔχειν*; Eust. *Il.* 711. 34 *οἷά τε—γαλαθ.*; cf. Polluc. v 76

1 *ἀγανῶς* schol. Pind. tantum  2 *ὕλαις* schol. Pind.  *ἐροέσσης* Zenodotus  3 *ἀπολειφθεὶς* Athen.: *ὑπολειφθεὶς* vel *ὑποληφθεὶς* Aelian., schol. Pind.  *ὑπὸ μητρὸς* Aelian., schol. Pind.





## 328 (54 B., 37 D.)

*ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους* [410]
*θέμενοι θάλειαν ἑορτὴν ἀγάγωμεν*
*Διονύσωι.*

Athen. xv 674 C *Ἀνακρέων ἔφη· ἐπὶ κτλ.*; schol. Pind. *Ol.* iii 19 *ἐπὶ—θέμενοι*; Eust. *Od.* 1908. 55 *ἐπὶ—ἀγάγωμεν*

2–3 inter *ἀγάγ.* et *Διον.* aliquid intercidisse coni. Kehrhahn

## 329 (50+55 B., 42+48 D.)

(a) *ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη* [411]
*λύσις ἐκ πόνων γένοιτ' οὐδάμα τῶνδε.*
(b) *Διονύσου σαῦλαι Βασσαρίδες*

Heph. *Ench.* xii 4 *παρὰ δὲ Ἀνακρέοντι·* (a) . . . (b) +
(a) 1 *ἄλληι* coni. Maas

## 330 (56 B., 49 D.)

*οὐ δηὖτέ μ' ἐάσεις μεθύοντ' οἴκαδ' ἀπελθεῖν.* [412]

Schol. Aesch. *PV* 128 *ὁ ῥυθμὸς Ἀνακρεόντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν· . . . ἔστι δὲ ταῦτα ὅμοια τῶι· οὐ κτλ.*

*δηὖτε* Page: *δ' αὖ* schol.

## 331 (47 B., 45 D.)

*μεγάλωι δηὖτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεὺς* [413]
*πελέκει, χειμερίηι δ' ἔλουσεν ἐν χαράδρηι.*

Heph. *Ench.* xii 4 *τῶι βραχυκαταλήκτωι δὲ Ἀνακρέων ὅλα ᾄσματα συνέθηκεν*

## 199 (2 B. et D.)

[31] φαίνεταί μοι κῆνος ἴσος θέοισιν
ἔμμεν' ὤνηρ, ὄττις ἐνάντιός τοι
ἰσδάνει καὶ πλάσιον ἆδυ φωνεί-
σας ὐπακούει

καὶ γελαίσας ἰμέροεν, τό μ' ἦ μὰν
καρδίαν ἐν στήθεσιν ἐπτόαισεν·
ὠς γὰρ ἔς σ' ἴδω βρόχε', ὤς με φώναι-
σ' οὐδ' ἒν ἔτ' εἴκει,

ἀλλ' ἄκαν μὲν γλῶσσα †ἔαγε†, λέπτον
δ' αὔτικα χρῶι πῦρ ὐπαδεδρόμηκεν,
ὀππάτεσσι δ' οὐδ' ἒν ὄρημμ', ἐπιρρόμ-
βεισι δ' ἄκουαι,

†έκαδε μ' ἴδρως ψῦχρος κακχέεται†, τρόμος δὲ
παῖσαν ἄγρει, χλωροτέρα δὲ ποίας

---

Auctor περὶ ὕψους 10 (cod. P) ἡ Σαπφὼ τὰ συμβαίνοντα ταῖς ἐρωτικαῖς μανίαις παθήματα ἐκ τῶν παρεπομένων καὶ ἐκ τῆς ἀληθείας αὐτῆς ἑκάστοτε λαμβάνει. ποῦ δὲ τὴν ἀρετὴν ἀποδείκνυται; ὅτε τὰ ἄκρα αὐτῶν καὶ ὑπερτεταμένα δεινὴ καὶ ἐκλέξαι καὶ εἰς ἄλληλα συνδῆσαι· φαίνεταί κτλ.; Ap. Dysc. *pron.* 75 φαίνεται—ὤνηρ, 106 a marg. φαίν.—κῆνος; Plut. *prof. virt.* 10 κατὰ μὲν γλῶσσά γε λεπτὸν αὐτίκα χρῷ πῦρ ὑποδέδρομε; An. Par. Cramer i 399. 27 κατὰ μὲν γλῶσσαν γελοπ. . . . αὐτίκα χρῷ πῦρ ὑποδέδρομεν; An. Ox. Cramer i 208. 13 ἀδεμ' ἰδρὼς κακὸς χέεται; accedit Π = papyrus ed. Bartoletti *Dai papiri della Società Italiana: omaggio ad xi congresso internaz. di papirologia*, Milano (1965) no. 2

---

vitia codicum non nulla iamdudum correcta praetereo 7 ὡς γὰρ ἔς σ' ἴδω βρόχε', ὤς Lobel, Toup: ὡς γὰρ σἴδω βροχέως codd. 7–8 φώναισ' Danielsson: φωνὰς cod. 8 εἴκει cod.: ἴκει coni. Toup 9 ita π. ὕψ. cod.; Plut. et An. Par. ut supra dedimus ἀλλ' ἄκαν an ἀλλὰ κὰμ incertum μ' ἔαγε coni. Sitzler, πέπαγε Barnes 13 ἔκαδε μ' ἰδρῶς ψυχρὸς κακχέεται π. ὕψ. cod.; An. Ox. ut supra dedimus; κὰδ δέ μ' ἴδρως κακχέεται coni. Ahrens, κὰδ δέ μ' ἴδρως ψῦχρος ἔχει Page





ἔμμι, τεθνάκην δ' ὀλίγω 'πιδεύης
φαίνομ' ἔμ' αὔται·

ἀλλὰ πὰν τόλματον ἐπεὶ †καὶ πένητα†

---

15 'πιδεύης Hermann: πιδεύσην cod. 16 φαίνομ' ἔμ' αὔται: φα]ινομ' εμαυτ[ Π; φαίνομαι ἀλλὰ παντόλματον π. ὕψ. cod.

## 200 (3 B., 4 D.)

[34] ἄστερες μὲν ἀμφὶ κάλαν σελάνναν
ἂψ ἀπυκρύπτοισι φάεννον εἶδος
ὄπποτα πλήθοισα μάλιστα λάμπῃ
γᾶν [ ]

---

Eust. *Il.* 729. 21 Σαπφὼ πού φησιν· ἄστερες κτλ.; An. Par. iii 233. 29; cf. Iulian. *or.* 3. 109 C, *ep.* 19. 387 A Σαπφὼ . . . τὴν σελήνην ἀργυρέαν φησὶ καὶ διὰ τοῦτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν +

---

1 σελάναν codd. 2 αἶψ' coni. Bergk ἀποκρύπτουσι(ν) φαεινὸν codd. εἶδος Eust.: ἦθος An. Par. 3 ὁπότ' ἂν Eust., ὁπόταν An. Par.

## 201 (19 B., 17 D.)

[39] πόδας δὲ
ποίκιλος μάσλης ἐκάλυπτε, Λύδι-
ον κάλον ἔργον.

---

Schol. Ar. *Pax* 1174 Σαπφώ· πόδας κτλ.; Pollux vii 93 ποικίλος—ἔργον, om. ἐκάλυπτε

---

1 πόδας Seidler: πόδα schol. 2 μάσθλης codd.

## 148 (18 B., 46ᴬ D.)

ἀσυννέτημμι τὼν ἀνέμων στάσιν·
τὸ μὲν γὰρ ἔνθεν κῦμα κυλίνδεται,
τὸ δ' ἔνθεν, ἄμμες δ' ὂν τὸ μέσσον
νᾶϊ φορήμμεθα σὺν μελαίναι
χείμωνι μόχθεντες μεγάλωι μάλα·
πὲρ μὲν γὰρ ἄντλος ἰστοπέδαν ἔχει,
λαῖφος δὲ πὰν ζάδηλον ἤδη
καὶ λάκιδες μέγαλαι κὰτ αὖτο·
χόλαισι δ' ἄγκονναι, τὰ δ' ὀή[ïα
[                    ]
[                    ]
-τοι πόδες ἀμφότεροι μένο[ισιν
ἐν βιμβλίδεσσι· τοῦτό με καὶ σ[άοι
μόνον· τὰ δ' ἄχματ' ἐκπεπ[.].άχμενα
..]μεν φ[ό]ρηντ' ἔπερθα, τὼν [...].
]ενοισ.[

(vv. iii fragmenta minora)

P.Oxy. 2297 fr. 5 (*a*) ii+2306 ii+Heracl. *quaest. Hom.* 5 ἐν ἱκανοῖς δὲ καὶ τὸν Μιτυληναῖον μελοποιὸν εὑρήσομεν ἀλληγοροῦντα· τὰς γὰρ τυραννικὰς ταραχὰς ἐξ ἴσου χειμερίωι προσεικάζει καταστήματι θαλάττης· ἀσυνν.—9 ἄγκ. τίς οὐκ ἂν εὐθὺς ἐκ τῆς προτρεχούσης περὶ τὸν πόντον εἰκασίας ἀνδρῶν πλωϊζομένων θαλάττιον εἶναι νομίσειε φόβον; ἀλλ' οὐχ οὕτως ἔχει. Μυρσίλος γὰρ ὁ δηλούμενός ἐστι καὶ τυραννικὴ κατὰ Μυτιληναίων ἐγειρομένη σύστασις; Cocondrius π. τρόπ. θ 3. 234 Spengel, ἀσυνν.—5 μάλα; Ap. Dysc. *pron.* 119 b, 3 ἄμμες κτλ.

1 ἀσυννέτημμι Ahrens coll. Theodos. *can.* i 83 Hilg. (Αἰολεῖς) ἀσυνέτημμι φασίν: varie corrupta codd. τὰν ἀνέμω coni. Dindorf

3 ὂν τὸ μέσσον: ἂν τὸ μέσον codd. 4 φορήμεθα codd. 5 μοχθεῦντες codd. μάλα Cocondr.: καλά Heracl. 6 πὲρ Hermann: περὰ vel παρὰ codd. 9 fort. χάλαισι scribendum ἄγκονναι Unger: ἄγκυραι codd. 14 non ut vid. -πατάχμενα vel -παλάχμενα

## 127 (*Rh. Mus.* 1944. 1 seqq. D.)

].ρά.α τόδε Λέσβιοι
...]....εὔδειλον τέμενος μέγα
ξῦνον κά[τε]σσαν, ἐν δὲ βώμοις
ἀθανάτων μακάρων ἔθηκαν
κἀπωνύμασσαν ἀντίαον Δία
σὲ δ' Αἰολήιαν [κ]υδαλίμαν θέον
πάντων γενέθλαν, τὸν δὲ τέρτον
τόνδε κεμήλιον ὠνύμασσ[α]ν
Ζόννυσσον ὠμήσταν. ἄ[γι]τ' εὔνοον
θῦμον σκέθοντες ἀμμετέρα[ς] ἄρας
ἀκούσατ', ἐκ δὲ τῶν[δ]ε μόχθων
ἀργαλέας τε φύγας ῥ[ύεσθε·
τὸν Ὕρραον δὲ πα[ῖδ]α πεδελθέτω
κήνων Ἐ[ρίννυ]ς ὥς ποτ' ἀπώμνυμεν
τόμοντες α..[          ]ν..
μηδάμα μηδ' ἔνα τὼν ἑταίρων
ἀλλ' ἢ θάνοντες γᾶν ἐπιέμμενοι
κείσεσθ' ὑπ' ἄνδρων οἳ τότ' ἐπικ.΄ην
ἤπειτα κακκτάνοντες αὔτοις
δᾶμον ὑπὲξ ἀχέων ῥύεσθαι.
κήνων ὁ φύσγων οὐ διελέξατο
πρὸς θῦμον, ἀλλὰ βραϊδίως πόσιν
ἔ]μβαις ἐπ' ὀρκίοισι δάπτει
τὰν πόλιν ἄμμι δέδ[.]..[.].ί.αις
οὐ κὰν νόμον [.]ον..[          ].΄[]
γλαύκας ἀ[.]..[.]..[
γεγρά.[
Μύρσιλ[ο

(sequuntur strophae carminis ultimae frr. minima)

P.Oxy. 2165 fr. 1 i 1–32+2166 (*c*) 6

1 fort. ].ρα, τὰι voluit, sed τ non est scriptum 4 marg. schol. ut vid. ζεθηκα(ν) 8 κεμήλιον: fort. Dionysi titulus adhuc ignotus 12 sscr. σ[άωτε ut vid. 15 ἄμφ[ενα (= αὐχένα), ἄμφ[αδα possis; fin. fort. ]νην (infin. = *prodere*, *cedere*, sim.?) 18 ἐπεκρέτην exspectasses, non est scriptum 20 sscr. λ[ύεσθαι 24 fin. πολίταις ut vid.

## 157 (34 B., 90 D.)

ὔει μὲν ὁ Ζεῦς, ἐκ δ' ὀράνω μέγας
χείμων, πεπάγαισιν δ' ὐδάτων ῥόαι
[          ἔνθεν                    ]
[                                   ]
κάββαλλε τὸν χείμων', ἐπὶ μὲν τίθεις
πῦρ, ἐν δὲ κέρναις οἶνον ἀφειδέως
μέλιχρον, αὐτὰρ ἀμφὶ κόρσαι
μόλθακον ἀμφι[          ] γνόφαλλον.

Athen. x 430 A–B (κατὰ πᾶσαν ὥραν πίνων εὑρίσκεται Ἀλκαῖος)· χειμῶνος μὲν ἐν τούτοις· ὕει κτλ.; P. Bouriant 8. 20 πεπάγ.—ἔνθεν

1 ὀράνω cod. rec.: ὠρ- Athen. 2 πεπάγαισιν P.Bour.: -γασι(ν) Athen.

5 κάββαλλε cod. rec.: κάββαλε Athen. 6 κίρν- Athen. 8 μαλθ- Athen. ἀμφιγνόφαλλον Athen.: ἀμφι⟨βάλων⟩ suppl. Grotefend, -⟨τίθεις⟩ Rutgers